ΧΟΡΟΣ.

Καὶ γὰρ τὰ πυθόκραντα· δυςμαθῆ δ' ὅμως.

ΚΑΣΑΝΔΡΑ.

Παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι.
Ὀτοτοῖ, Λύκει' Ἄπολλον· οἲ ἐγὼ, ἐγώ.
Αὕτη δίπους λέαινα συγκοιμωμένη
Λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
Κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
Τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ
Ἐπεύχεται, θήγουσα φωτὶ φάσγανον
Ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
Καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
Σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
Ἴτ' ἐς φθόρον πεσόντ'· ἀγαθῷ δ' ἀμείψομαι·
Ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε.
Ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
Χρηστηρίαν ἐσθῆτ', ἐποπτεύσας δέ με
Κἀν τοῖςδε κόσμοις καταγελωμένην μέγα
Φίλων ὕπ', ἐχθρῶν οὐ διχοῤῥόπως, μάτην.
Καλουμένη δὲ φοιτὰς, ὡς ἀγύρτρια,
Πτωχὸς, τάλαινα, λιμόθνης ἠνεσχόμην.
Καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
Ἀπήγαγ' ἐς τοιάςδε θανασίμους τύχας.
Βωμοῦ πατρῴου δ' ἄντ' ἐπίξηνον μένει
Θερμῷ κοπείσης φοινίῳ προσφάγματι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
Ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
Μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
Φυγὰς δ' ἀλήτης τῆςδε γῆς ἀπόξενος
Κάτεισιν ἄτας τάςδε θριγκώσων φίλοις·
Ἄξειν νιν ὑπτίασμα κειμένου πατρός.
Τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω;

---

1042. v. δυςπαθῆ 1043. v. τὸ πῦρ ἐπερχ. f. οἷόν μοι π. — τόδε 1045. δίπλους 1048. v. ἐνθήσει 1054. f. πεσεῖν· θάνατον δ' f. πεσόντα γ'· ὧδ' 1055. f. ἄλλην τιν', ἄλλην f. ἄτης 1057. v. ἐσθῆτ'. (ἐπώπτευσας) 1058. f. MSS. καταγελωμένην μετὰ φίλων, ὑπ' ἐχθρῶν 1064. MSS. ἀντεπίξηνον 1065. f. φοίνιον 1071. f. ἄξει